ἐπίζοις δεσπότης Παιονίας. Περὶ δὲ τῶν Ὀργεώνων γέγραφε καὶ Φιλόχορος. τοὺς δὲ φράτορας ἐπάναγκες
δέχεσθαι καὶ τοὺς ὀργεῶνας, καὶ τοὺς ὁμογάλακτας οὓς γεννητὰς καλοῦμεν. Ὀργάδες τὰ ἱερὰ χωρία, ἤτοι ἀπὸ τῶν ὀρ-
γίων, ἢ τῶν μυστηρίων. ἢ παρὰ τὸ ὀργᾶν, ὅ ἐστιν ἐπιθυμεῖν. καὶ γὰρ ἐπιθυμοῦντες τρυγᾶν τὰ ἱερὰ φυτὰ οὐ
τολμῶσι διὰ τὸ ἐπάρατα εἶναι. Ὀργάνη ἡ Ἐργάνη ἡ Ἀθηνᾶ. Ὀργεῶνες, πρῶτοι ὀργίων καὶ τελετῶν συν-
τελικῶν. ἀλλαχοῦ ἔτος. Ὀργεῶνες σύνταγμά τι ἀνδρῶν, ὡς τῶν γεννητῶν καὶ φρατόρων, ὀνομασθὲν ἀπὸ
τοῦ κοινῇ ὀργιάζειν οἷον θύειν εὔχεσθαι. Ὀργεωνικά ἐστι θύματα τὰ κοινὰ τῶν ὀργεώνων. Ὀργιασταί,
οἱ τὰ μυστήρια ἐπιτελοῦντες. Ὀργῶσα ἐπιθυμοῦσα, ἢ μανιῶσα. Ὀργιζομένοις ἐπιθυμοῦσι. Ὀρέγει, παρέχει
Ὀρέγεται, ἐπιθυμεῖ. Ὀρεγνύς, ἐκτείνας. Ὀρμοὶ πόδες αἱ κῶπαι. Ὀρεκτιᾶν, ἐπιθυμεῖν ταὐτὸ καὶ ὀρεκτιᾶν. Ὀρείχαλ-
κος, ὁ διαυγὴς χαλκός. Ὀρέξαι, δῶσαι, ἐκτεῖναι. Ὀρέξεις ἐπιθυμίαι. Ὀρεωκόμοι, ὁ ἐπιμελητὴς τῶν ἡμιόνων. Ὀρδά-
νιον ἐν ᾧ τὸ ὕδωρ ἵν' οἱ περιρραινόμενοι καθαροὶ ἀπέρχωνται. Ὀρθάνης, Πριαπώδης θεὸς ἐντέτακται Ἑρμῇ καὶ νύμφαις
Ὀρθόκραιροι, ὀρθόθριξ Σοφοκλῆς. Ὀρθόκωμος, Ἡρακλῆς ἵδρυται Ἀθήνησιν. Ὀρθοί, βάζει. Ὀρθῆς δὲ τῆς πόλεως
οὔσης ἐπὶ τούτοις ἀντὶ τοῦ κεκινημένης καὶ πεφοβημένης. Ὑπερείδης φησίν. Ὀρθῆς δ' ὑμῶν τῆς πατρίδος οὔσης.
Αἰσχίνης δὲ ἀντὶ τοῦ ἀπαθοῦς καὶ ἀκεραίου. Ὀρθὴν δὲ ἐντυγχάνει, ἀντὶ τοῦ ἐωθός. Ὑπερείδης. Ὄρθιον νόμον καὶ τρο-
χαῖον, δύο νόμους ἀπὸ τῶν ῥυθμῶν ὠνόμασε Τέρπανδρος. ἀνατεταμένοι δ' ἦσαν. Ὀρθοπλὴξ ἵππος ὀρθὸς ἐπαι-
ρόμενος καὶ πλήσσων, Ἀριστοφάνης Ἀναγύρῳ. ὡς δὲ ὀρθοπλὴξ πέφυκεν τὰς δυσάρχαλις. Ὀρθόπτερον Σοφοκλῆς
Αἰθίοψιν. Ὀρθοὺς ἔχοντα κολουροῖς τὰ γὰρ τοῦ οὖθος, ἀνέχοντα πτερὰ ἔλεγον κατὰ περίσσα. Ὀρθοβόη, χελιδών.
Ὀρθόφρων, ἀνατεταμένος καὶ μετέωρος ταῖς φρεσίν, οὕτω Σοφοκλῆς. Ὀρθοστάδιοι, οἱ στατοὶ χιτῶνες, οἱ γὰρ συ-
ρόμενοι συρτοί. Ὄρθριον, ἀντὶ τοῦ ὄρθρου. Ὀρθριάζειν μαντεύεσθαι. Ὀρθροφοίτης, ὁ παραγενόμενος ὄρθρου
Ὀρθῶς κατ' ὀρθὴν γνώμην. καὶ ἔστι ἀμείνων λέξις τοῦ καλῶς ἐπὶ τῶν τοιούτων ἐννοιῶν. Ὀριγνηθῆναι, ἀντὶ τοῦ
ἐπιθυμηθῆναι. Ὀριγνώμεθα ὀρεγόμεθα. Ὀρικάζεσθαι, τὰ τῶν ὀρέων τρέφει τῶν ἡμιόνων. Ὀρκάνη, περί-
φραγμά τι ἀκανθῶδες. Ὀρκάνη, ὁ περιέχων τεῖχος οἴκησιν, ἢ χωρίον, εἴρεται δὲ ἀπὸ τοῦ ἕρκους, ὅ ἐστι περίβολος
φράγμα. Ὀρκάνη, Λυκοῦργος κατὰ Λυκόφρονος. Ε. μήποτε ὁ φραγμός, τουτέστι τὸ περίφραγμα, καὶ ἡ αἱμασιά οὕτω
καλεῖται, παρὰ τὸ εἴργειν, ἢ παρὰ τὸ ἕρκος εἶναι. Ὅμηρος. αἱμασιὰς λέξαντες ἀλωῆς ἔμμεναι ἕρκος. Ὀρκάνας εἱρκτάς. Ὀρ-
κανάτην, χλευαστὴν δ' ὅρκων. Ὀρκάνην τὴν σαρκάνην λέγουσιν. ~~…~~ Ὀρκίζειν καὶ
ὀρκοῦν ἑκάτερον. Ὅρκιον σκῆπτρον, καθ' ὃ ὤμνυον οἱ βασιλεῖς ἢ ῥάβδος. Ὀρκίλλεσθαι, τὸ διακενῆς ὀμνύναι. Ὀρ-
κύπτεσθαι, ὑπερκύπτειν ἐπ' ὀνύχων ἱστάμενον. Ὀρκωμοσία, τὰ θύματα καὶ ἱερεῖα. Ὀρκωμοτεῖν, τὸ ὀμνύναι. Ἀριστοφάνης
Βαβυλωνίοις. Ὀρκοῦντας, οὐχὶ ὀρκιστὰς, οὐδὲ ὀρκωμότας λέγουσιν. Ὁρμᾶν, οὐ τὸ ἐξιέναι πω, ἀλλὰ τὸ ὁρμῇ πρός τι χρῆσθαι.
Ὁρμαθός, σύνδεσμος στίχος. Ὅρμενα, τὰ τῆς κράμβης. Ποσείδιππος συντρόφους ἔνδοθι προνομεύων ὅρμενα. Παρὰ
τοῖς παλαιοῖς οὐχ εὕρομεν. Νικοστράτῳ ῥήτορι ἐξωρμηκότι δυχερεῖς πάλιν ἄρχεται. Ὁρμᾶν. Ἀντιφάνης Ἁλιευομένῃ.
Ὅρμον λιμένα. Ὅρμενον, τὸ ἄγριόν τι λάχανον κυρίως οὕτω καλούμενον. καταχρηστικῶς δὲ καὶ παρὰ Σικελικοῖς
παρὰ τὸ λάχανα καὶ ὑποανθεῖ. Ὁρμίσκος καὶ ὅρμος, περιτραχήλιος κόσμος. ἐνώτιν χαλκεσήρια. Ὁρμωμένης προ-
θυμουμένης. λέγεται δὲ καὶ ὁ πενταλογούμενος. Ὀρνιθευομένης μαντευομένης δι' ὀρνίθων. Ὀρνιθευτής
ὁ ὀρνιθοθήρας. Ὀρνιθεία δίκτυα, ἐν οἷς τὰ ὄρνεα ἁλίσκονται. Ὀρνιθευτὴν ἰξευτήν. Ὀρνιθοκλόνος, Ὀρνιθο-
σκόποι. Ὄρνις Ἀττικοί, Ἴωνες δὲ ὄρνιξ. καὶ ἐν πληθυντικῷ ἀκολούθως --- καὶ ~~…~~ Δωριεῖς ὄρνιξ. Παρ' Ἀλκμᾶνι
ἰδ' ἀλκὰξ ὄρνις ἀειδὸς ἦτος ἔχων. ἐλινόφθορος ἱερὸς ὄρνις. Ὄρνυται ὁρμᾷ. Ὄροβοι, ὄσπριόν τι ἥδιστος γνωρίμως.
Ὀροφύλακας λέγουσιν, οὐχὶ ὀρφύλας, Ἀριστοφάνης. Ὀρόφους τοῖς τῶν ὀρῶν ἄκρους. Ὅρος καὶ τὸ ὅριον τῆς χώρας.
καὶ τὰ τέλη ὅροι ὀνομάζονται. Ὅρος ἐπιγεγραμμένος τοῖς ὑποκειμένοις ~~…~~ χωρίοις καὶ ταῖς οἰκίαις. Ὅροι, τὸ λε-
φύμενον ὑφ' ἡμῶν ῥυπόν. Ἐστὶ δὲ ὑποσέληνη φύλακτος. Ὀροφύλακες, σωματοφύλακες βασιλέων. Ὅρος οὕτως
ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ὑποκειμέναις οἰκίαις ἢ χωρίοις γράμματα, ἀκούσιν ὅτι ὑπόκειται δανειστῇ
οὕτω Δημοσθένης καὶ Μένανδρος. Ὀρονύχιον, ὅρος εὐκθεινος τουτέστι φυλακή. Ὅρος, σκεῦός τι γεωργι-
κόν, ὡς Ἰσαῖος δηλοῖ. Μήποτε μέντοι τὸ ὅρον παρά τε Αἰσχύλῳ καὶ παρὰ Μενάνδρῳ ξύλον τι σημαίνει
ὃ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν. Ὀρρωδεῖν ἀντὶ τοῦ φοβεῖσθαι, καὶ ὀρρωδία τὸ δέος. Ὀροτύπος, ὑλο-
τόμος. Ὀροτύπεις καὶ γίγαντας ὅτι ταῖς τῶν ὀρῶν κορυφαῖς ἔβαλλον. Ὄροφος καὶ ὀροφή, στέγη. Ὀρο-
φοιτῶντα, εἰς ὄρη περιερχόμενα. Ὄρπηξ, κλάδος. Ὀρρωδεῖ φοβεῖται, ὀρρωδία φόβος. Ὀρσοθύρη, θύραν
ὕψει τοῦ τοίχου. Ὄρρος, τράμις, καὶ ὀρροπύγιον. οὕτω καὶ οἱ Ἴωνες. Ὀρθοπύγιον δὲ παρ' ἄλλοις τῶν
Ἑλλήνων. Ὄρσος ὁ ταῦρος. Ὀρσολοπεῖν, λοιδορεῖν, πολεμεῖν. Ὀρσοπλύται διαπολεμοῦνται. Ὀρτάλιχοι
οἱ μικρόπτεροι πετόμενοι νεοσσοί. Ὀρτυγᾶς, συστέλλοντες οἱ Ἀττικοὶ λέγουσι τὸ υ καὶ τὸν ὀρτυγοκόμον.
δηλοῖ βραχὺ --- Ἀριστοφάνης Δαιταλεῦσι. Ὀρτυγοκόπος, παιδιά τις, ἐν ᾗ ὄρτυγας ἱστᾶσιν ἐν γύρῳ, εἶ-
τύπτουσιν εἰς τὴν κεφαλήν. καὶ ὁ μὲν ἐντὸς τοῦ γύρου καταβαλὼν τὸν ὄρτυγα, λαμβάνει ἐξῆς οὐ ἀνδύνη=
ται. ὁ δὲ ἀποτυχών, παρέχει θατέρῳ τοὺς ὄρτυγας τύπτειν. καὶ τοῦτο ἀνὰ μέρος ποιοῦσι. λέγεται οὖν ἐν
Ἀλκιβιάδῃ οὐκ ἀλλὰ πρὸς Μειδίαν δεῖ σε ἀποβλέποντα τὸν ὀρτυγοκόπον καὶ τοιούτους ἄλλους. ἐν Φαί-
δωνι. ὅτι ὡς πρὸς τοὺς τυχόντας ὁ ἀγών ἐστι, πρὸς δὲ τοὺς ἀρίστους. Διόπερ οὐ ῥᾳθυμητέον, μηδὲ ὀρτυ-
γοκοπεῖν. Ὀρτυγομήτρα, ὄρτυξ μέγας. Ὀρτυγοσκοπεῖν, ἐν γύρῳ τιθέντες ὄρτυγα εἰώθασιν τι-
αὐτὸν βαδίζειν. ἔπειτ' ἐὰν μὲν πληγεὶς ὁ ὄρτυξ ἔλθοι πτερυσσόμενος περὶ τὸν πατάξαντα διὰ
τὸ βραβεῖον, καὶ ἀποφέρει τὸν ὄρτυγα. Ἐὰν δὲ μείνῃ περὶ τὸν ἄντικρυς καὶ ἀποφέρῃ τοῦτον τελευτῶν
καὶ ἕτερον παρὰ τοῦ λειφθέντος. Ὄρυγμα, ἰδίως οὕτως ἐκαλεῖτο, ἐφ' ᾧ οἱ κακοῦργοι ἐκολάζοντο. Ὀρυ-
μαγδοί, θόρυβος, τάραχος, κτύπος. Ὀρφανισταί, ἀρχὴ ἐπὶ τῶν ὀρφανικῶν ἵνα μηδὲν ἀδικῶνται.
Ὀρφνινήν, σκοτεινήν. Ὀρφνή, σκοτία, νὺξ μέλαινα. Ὄρχαμος ἡγεμών. Ὄρχατοι καὶ ὄρχοι, στίχοι
ἀμπέλων ἢ ἑτέρων φυτῶν. Ὀρχίλος, βασιλικός, σαλπιγκτής, ὄρνεον ὁμοίως σάλπιγγι φθεγγό-
μενος. Ὀρχιπεδεῖν, τὸ περὶ τὰ παιδία κακοχολεῖσθαι. Ὀρχήστρα, πρῶτον ἐκλήθη ἐν τῇ ἀγορᾷ. εἶτα καὶ
τοῦ θεάτρου τὸ κάτω ἡμίκυκλον, οὗ καὶ οἱ χοροὶ ᾖδον καὶ ὠρχοῦντο ἐπὶ τὴν ὀρχήστραν ἐπὶ γὰρ τὴν θεάν
ᾤκει τ' ἐκεῖ, φησὶν ὁ κωμικός. Ὄρχους τοὺς κατὰ στίχον φυτείας. Ὀρχήστρα τὸ νῦν τοῦ θεάτρου λε-
γόμενον σίγμα. Ὀρῶτο, ἐλείπετο ῥόσαμιν ἀπιὼν τότε ἀτρεμεῖν ὅσον καὶ ἐφ' ὅσον χρόνον
οὐκ ἀπιὼν αὐτοῦ τὸ ἀτρεμεῖν. ὅσα μὲν τὸ δοκεῖν κακωθεῖσαι τὸ δ' ἀληθὲς κακῶς ἀπαλλαγῆναι ἀντὶ τοῦ τιμωρηθῆναι
κακωθεῖσαι καὶ ἑξῆς. Ὁσημέραι, διαπαντός, πάντοτε, καθ' ἡμέραν. Ὅσια, τὰ ἰδιωτικὰ καὶ μὴ ἱερά. ὅσια τὰς
θυσίας ἐπιτελεῖσθαι κεχρηστηριασμένας, οἷον ἔφηται καὶ ὅσιον ἐστὶ γίνεσθαι, ἤδη τῶν ἀπο --- Ὅσιον χωρίον
τὸ βέβηλον καὶ μὴ ἱερὸν εἰς ὃ ἔξεστιν εἰσιέναι. Ἀριστοφάνης Λυσιστράτῃ. ὦ πότνι' Εἰλείθυια, ἐπίσχες τοῦ
τόκου ἕως ἂν εἰς ὅσιον ἔλθω χωρίον. καὶ ὅσια χρήματα, τὰ μὴ ἱερά. λέγεται καὶ ~~…~~ τὸ δίκαιον ὅσιον. Ὅσιον
Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονά φησι, καὶ τὰ χρήματα ὅσια, τά τε ἱερὰ καὶ τὰ ὅσια. καὶ Ἰσοκράτης, τοῖς ἱεροῖς
καὶ τοῖς ὁσίοις. τὰ δημόσια ὅσια λέγοντες. καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους σαφῶς διδάσκει τοῦτο. Δί-
δυμος δέ φησι, διχῶς λέγεσθαι τὸ ὅσιον, τό τε ἱερὸν καὶ τὸ ἰδιωτικόν. ὁσίας θαλάμους, τοὺς μὴ θείους, ἀλλ' ἀν-
θρωπίνους. Ὁσιωθῆναι ἡμεῖς λέγουσιν ἐπὶ θανάτου τινὸς ὅσον μὴ ἱεράς, ἀλλ' ὁσίας νομισθῆναι. Ὀσμή,
ἡ δὲ ὀσμὴ ἰακόν. Ὀσμύλια, ἰχθύδια εὐτελῆ, θομύλια καὶ μεμβράδα καὶ σηπίδια φησὶν Ἀριστοφάνης. Ὅσον, βιώσιμον
ὅσον ζῆσαι. Ὅσον οὐκ ἀποτετέλεστο, ἀντὶ τοῦ σχεδόν ὅσον οὔπω ταχύ, μετ' ὀλίγον, ἢ ἀντὶ τοῦ ἤδη. Ὄσσος ὀφ-
θαλμός, ἐν τῇ γραφικῇ --- παρ' Ὁμήρῳ οὐκ εἴρηται. Ὀσακοί, οἱ δὲ Ἀσακοὶ καρδαμίς. Ὀσκνοὶ ἐκπίπτει ὑπό
Χαλκηδονίων Ὀσκφίδα οὐχ ὅπως Κρατῖνος Νόμοις. Ὁ δὲ Ζωΐ ὀσφύσιν οὐ σειτάχα, ἀλλὰ καὶ Πλάτων Νήσοις.